2011. S1

# Coimisiún na Scrúduithe Stáit
# State Examinations Commission

## JUNIOR CERTIFICATE EXAMINATION, 2011

# ANCIENT GREEK — ORDINARY LEVEL

**(400 marks)**

THURSDAY, 23 JUNE – AFTERNOON 1.30 to 4.00

**1.** **[50]**

**A.** Translate into English: (40)

Ἡρακλῆς ἦν Διὸς καὶ Ἀλκμήνης υἱός, καὶ ἐν σπαργάνοις ἔτι ὢν οὕτως ἰσχυρὸς ἦν ὥστε ὄφεις ἄγχειν δύνασθαι οὓς ἔπεμψεν Ἥρα ὡς διαφθεροῦντας αὐτόν. φιλάνθρωπος δ' ὤν, πολλὰ καὶ ἀγαθὰ ἔργα ἔδρασεν ἵνα οἱ ἄνθρωποι βίον ἔχοιεν εὐδαιμονέστερον. ἐν δὲ τῇ Ἡρακλέους αἵρεσει Ξενοφῶν λέγει ὅτι νεανίᾳ ὄντι τῷ Ἡρακλεῖ δύο γυναῖκες ἠπάντησαν, ὧν ἡ μὲν ἡδονὴν ἡ δὲ ἀρετὴν προύθηκεν. ἀρετὴν δ' ἀνθ' ἡδονῆς ἑλομένῳ φύλαξ ἐγένετο Ἀθηνᾶ. ἀλλ' Ἥρα, ἀεὶ δυσμενὴς οὖσα, δώδεκα ἄθλους ὑπομένειν ἠνάγκασεν.

GREEK THROUGH READING

**B.** Answer *one* of the following questions: (10)

(i) Briefly tell any other story you know about Heracles.

(ii) Write a short note about Athena.

**2.** **[50]**

**A.** Translate into English: (40)

Περσεὺς υἱὸς ἦν Διὸς καὶ Δανάης. μετὰ δὲ ἄλλους πόνους πορευόμενος πρὸς Αἰθιοπίαν, ἧς ἐβασίλευσε Κηφεύς, ηὗρε τὴν τούτου θυγατέρα, Ἀνδρομέδαν, δοθεῖσαν βορὰν θαλασσίῳ κήτει. Κασσιόπεια γάρ, ἡ Κηφέως γυνή, Νηρῃσιν ἤρισε περὶ κάλλους, καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν· αἱ δ' οὖν Νηρῃδες βαρέως ἔφερον, καὶ Ποσειδῶν συνοργισθεὶς κῆτος ἔπεμψεν ἐπὶ τὴν Αἰθιοπίαν· ἀναγκασθεὶς δ' ὑπὸ τῶν πολιτῶν Κηφεὺς προὔθηκεν Ἀνδρομέδαν τῷ κήτει. ταύτην θεασάμενος ὁ Περσεύς, καὶ ἐρασθείς, διέφθειρε τὸ κῆτος, καὶ ἔλαβεν Ἀνδρομέδαν γυναῖκα.

GREEK THROUGH READING

**B.** Answer *one* of the following questions: (10)

(i) Briefly tell any other story you know about Perseus.

(ii) Write a short note about Poseidon.

**3.** Translate into English: **[80]**

*(Hector kills Patroclus, Achilles' comrade. With help from Athena, Achilles kills Hector.)*

ἐπεὶ Πάτροκλος, Ἀχιλλέως ἑταῖρος, ἐθέλει σῴζειν τοὺς Ἕλληνας, ὁ Ἕκτωρ ἀποκτείνει αὐτόν. ὁ οὖν Ἀχιλλεὺς πρὸς τὴν μάχην τρέχει καὶ εὑρίσκει τὸν Ἕκτορα. ἐπεὶ δὲ ὁ Ἕκτωρ τὸν Ἀχιλλέα βλέπει, φεύγει. τὸν μὲν Ἕκτορα διώκει ὁ Ἀχιλλεύς, ἡ δὲ Ἀθήνη φαίνεται ὡς ὁ τοῦ Ἕκτορος ἀδελφὸς καὶ πείθει τὸν Ἕκτορα μάχεσθαι. εὐθὺς δὲ ὁ Ἀχιλλεὺς βάλλει τὸ δόρυ, τὸν δὲ Ἕκτορα οὐ βλάπτει. ἔπειτα δὲ ὁ Ἕκτωρ ὁρμᾶται πρὸς τὸν Ἀχιλλέα, ὁ δὲ Ἀχιλλεὺς δόρυ αὖθις βάλλει καὶ ἀποκτείνει αὐτόν.

μάχη: battle. φαίνομαι: I appear. ὡς: as.
δόρυ: spear. βλάπτω: I harm. ὁρμάομαι: I rush.

**4.** Read the following passage and then answer *any six* of the questions which follow: **[80]**

*(Theseus saves his comrades but abandons Ariadne.)*

οὕτως οὖν ὁ Θησεὺς τοὺς ἑταίρους σῴζει καὶ ἀπὸ τῆς Κρήτης ἀποφεύγει. πρῶτον μὲν οὖν πρὸς νῆσόν τινα, Νάξον ὀνόματι, πλέουσιν. ἐπεὶ δὲ ἀφικνοῦνται, ἐκβαίνουσιν ἐκ τῆς νεὼς καὶ ἀναπαύονται.

ἐπεὶ δὲ γίγνεται ἡ νύξ, οἱ μὲν ἄλλοι καθεύδουσιν· ὁ δὲ Θησεὺς οὐ καθεύδει ἀλλὰ ἥσυχος μένει· οὐ γὰρ φιλεῖ Ἀριάδνην οὐδὲ βούλεται φέρειν αὐτὴν πρὸς τὰς Ἀθήνας. δι' ὀλίγου οὖν, ἐπεὶ καθεύδει ἡ Ἀριάδνη, ὁ Θησεὺς ἐγείρει τοὺς ἑταίρους καί, "σιγᾶτε, ὦ φίλοι," φησίν· "καιρός ἐστιν ἀποπλεῖν. σπεύδετε οὖν πρὸς τὴν ναῦν."

ἐπεὶ οὖν εἰς τὴν ναῦν ἀφικνοῦνται, ταχέως λύουσι τὰ πείσματα καὶ ἀποπλέουσιν· τὴν δ' Ἀριάδνην λείπουσιν ἐν τῇ νήσῳ.

Νάξος: Naxos (an island). ἀναπαύομαι: I rest. ἥσυχος : quiet.
ἐγείρω: I wake up (someone). πείσματα: ropes (holding the ship).

(*a*) After they leave Crete, to where do Theseus and his comrades sail first?

(*b*) What do they do when they arrive there?

(*c*) When night comes what do the comrades do?

(*d*) Why does Theseus not want to take Ariadne to Athens?

(*e*) What does Theseus say to his comrades?

(*f*) When they arrive at the ship what do they do?

(*g*) Give the Genitive Case, Singular Number, of *two* of the following nouns:
Ἀριάδνη, ἑταῖρος, νῆσος, ναῦς.

(*h*) The word *philanthropist* comes from two Greek words. What are they, and what does each Greek word mean?

**5.** Translate into Greek: **[80]**

(*a*) The bad men are fleeing from the city. (16)

(*b*) The slave runs quickly and finds the master in the house. (16)

(*c*) The oxen drag the plough around the field. (16)

(*d*) The woman sees the wolf and saves the children. (16)

(*e*) Why are the comrades going to the spring? (16)

**6.** Answer *one* of the following: **[30]**

(*a*) Give a brief account of the battle of Thermopylae. Remember to tell who fought in the battle, when it was fought, what the battle was like, and who won.

(*b*) Write about the career of *either* Miltiades *or* Themistocles.

**7.** Answer *one* of the following: **[30]**

(*a*) Name *any three* of the following gods or goddesses:

(i) She was the goddess of the hearth and sister of Zeus.

(ii) He was the god of war.

(iii) She was the goddess of love.

(iv) He was the god of the underworld.

Write a short paragraph about *any one* of the gods or goddesses you have named.

(*b*) Imagine that you are a boy or a girl in ancient Athens. Write about a recent visit to the theatre by your family.